49 ὁ ῥύστης μου ἐξ ἐχθρῶν μου ὀργίλων,
ἀπὸ τῶν ἐπανιστανομένων ἐπ᾽ ἐμὲ ὑψώσεις με,
ἀπὸ ἀνδρὸς ἀδίκου ῥύσῃ με.
50 διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσιν, κύριε,
καὶ τῷ ὀνόματί σου ψαλῶ,
51 μεγαλύνων τὰς σωτηρίας τοῦ βασιλέως αὐτοῦ
καὶ ποιῶν ἔλεος τῷ χριστῷ αὐτοῦ,
τῷ Δαυιδ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

18 ΙΗʹ

1 Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυιδ.
2 Οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ,
ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα·
3 ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα,
καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν.
4 οὐκ εἰσὶν λαλιαὶ οὐδὲ λόγοι,
ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν·
5 εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν
καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.
ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ·
6 καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ,
ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδὸν αὐτοῦ.
7 ἀπ᾽ ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ,
καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ,
καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τὴν θέρμην αὐτοῦ.
8 ὁ νόμος τοῦ κυρίου ἄμωμος, ἐπιστρέφων ψυχάς·
ἡ μαρτυρία κυρίου πιστή, σοφίζουσα νήπια·
9 τὰ δικαιώματα κυρίου εὐθεῖα, εὐφραίνοντα καρδίαν·
ἡ ἐντολὴ κυρίου τηλαυγής, φωτίζουσα ὀφθαλμούς·
10 ὁ φόβος κυρίου ἁγνός, διαμένων εἰς αἰῶνα αἰῶνος·
τὰ κρίματα κυρίου ἀληθινά, δεδικαιωμένα ἐπὶ τὸ αὐτό,
11 ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολὺν
καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον.
12 καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει αὐτά·
ἐν τῷ φυλάσσειν αὐτὰ ἀνταπόδοσις πολλή.
13 παραπτώματα τίς συνήσει;
ἐκ τῶν κρυφίων μου καθάρισόν με.
14 καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου·
ἐὰν μή μου κατακυριεύσωσιν, τότε ἄμωμος ἔσομαι
καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης.

$49^1$ μου $2^0$ > BS | $49^2$] pr. και S | επανισταμενων A | $49^3$ ρυσαι A
18 (𝔐 19) $3^1$] pr. η SA || $8^1$ του > A || $14^2$ κατακυριευσουσιν BA